*ὅ τι ἂν οὖν βούληται χρῆσθαι, οἱ δ' ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.*

2.

## ΕΠΙΤΑΦΙΟΣ
## ΤΟΙΣ ΚΟΡΙΝΘΙΩΝ ΒΟΗΘΟΙΣ.

*Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες ἐπὶ τῷδε* 1
*τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀν-*
*δρῶν ἀρετήν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ'*
*αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ πᾶσιν ἀν-*
*θρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρα-*
*σκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι*
*δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν*
*πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγ-*
*γνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. ὅμως* 2
*δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ*
*τούτων ἔργα ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρη-*
*κότας. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τού-*
*των ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν*
*βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις* [Isocr. IV 186
*περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖ-*
*φθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν·*
*οὔτε γὰρ γῆς ἄπειροι οὔτε θαλάττης οὐδεμιᾶς, παν-* [Thuk. II 41
*ταχῇ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὑτῶν πεν-*
*θοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.*

*Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προ-* 3
*γόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών· ἄξιον γὰρ*